ἀρθρ. στιχ.

καὶ ταῦτ' Ἰατροῖς εἰκότως σκοπητέα,
πῶς ἂν μάτην τις χρῷτο πολλοῖς φαρμάκοις,
καὶ τοῖσδ' ἀνωφελῶς τε, κἀπὶ ζημίᾳ,
κἀπὶ βλάβῃ κάμνοντος, ἢ σωτηρίᾳ; μη. 1020
πλὴν εἰ δοκεῖν τις μᾶλλον, ἢ πέλειν θέλοι
Ἰατρὸς οἷα πλῆθος εἰδὼς φαρμάκων,
κἀκ πλειόνων κάλλιστα συντεθειμένων,
τιμῆς τε πολλῆς, μακρόθεν τ' ἠνεγμένων,
καὶ τοῖσδ' ἀρέσκειν τῷ λεῷ βȣ̂λοιθ' ὅλως·
ȣ̂ μᾶλλον ἐστιν ὠφελεῖν, ἢ μηδ' ὅλως (ν)
τοῖς ἀλλεπαλλήλοισι βλάπτειν φαρμάκοις.

N. Καὶ μὴν παραψύχων τις ἁδροῖς φαρμάκοις,
δῆθεν φιλανθρώπῳ τε κἀγαθῷ τρόπῳ,
κάμνοντα δεινῶς, κεκρατημένον νόσῳ
ὤνησεν ȣ̓δὲν, πημονὴν δ' ἤνεγκέ πως
νόσημ' ἐπαύξων, ἢ ταχύνων δὴ μόρον· κη. 597
ἀμηχανῶν νόσȣ γὰρ ἅψαθ' αἰτίας μθ. 1039
ὡς εἰκὸς ἐσθλοῖς φαρμάκοις καὶ προσφόροις
ὑπ' ἀδρανείας τȣ̂ νόσῳ κεκμηκότος,
δεινῶν ἐπ' εὐνασμῷ δὲ κἀναλγησίᾳ,
ἢ καὶ κρατυσμȣ̂ κἀναλήψεως χάριν
ἄκεσμ' ἀτεχνῶς τῷδ' ἀσύμφορον φέρων,
εἴπω παρῆν τι σώματος λοιπὸν σθένος
ὅγ' ἀντέχειν δύναιτο πρὸς νόσȣ βίαν (ξ),

ῥᾶς

(ν) Ἐπιδ. Α. β. (ξ) περὶ διαίτ. ὀξ. λς.